γεται) ἐν οἷς οὐδεὶς πόνος, οὐδεμία σπου-
δὴ καὶ οὐδεμία ἐπιμέλειά ἐστι. Τινὸς δὲ θαυ-
μασίας ἄξιοι νομίζονται οἱ ἀρετῇ τῶν πάν-
των λοιπῶν ὑπερέχειν νομίζονται: καὶ
τοῦτο δὲ τούτων κακῶν, οἷς οἱ ἄλλοι οὐ ῥαδίως
ἀνίστασθαι δύνανται. καὶ γὰρ αἱ ἡδοναὶ αἱ
θωπευτικώταται δέσποιναι, πολλάκις τὰ
μείζονα μέρη τῆς ψυχῆς ἀπὸ τῆς ἀρετῆς ἀπο-
στρέφουσι. καὶ ἐπειδὴ τῶν ἀλγῶν προσφέ-
ρονται, τὰ ῥᾴδια, παρὰ τὸν τρόπον πολλοὶ
ἀτύζονται. ὁ βίος, θάνατος, πλοῦτος,
πενία ἅπαντας ἀνθρώπους μάλιστα ταράτ-
τουσιν. ὧν οἱ ἀμφότερα ὑψιλόφρονι καὶ με-
γαθύμῳ καταφρονοῦσι: ἐπειδὴ μέγα τι καὶ
καλὸν πρᾶγμα προτέθειται, καὶ τοὺς ὅλους
εἰς ἑαυτὸ διαστρέφει, καὶ ἁρπάζει, τότε τίς
οὐκ ἂν θαυμάζοι τὴν τῆς ἀρετῆς λαμπρό-
τητα καὶ κάλλος; εἶτα καὶ αὐτὴ ἡ τῆς

ψυχῆς καταφρόνησις μέγα θαῦμα ποιεῖ, καὶ
μάλιστα ἡ δικαιοσύνη: δι' ἧς μιᾶς ἀρετῆς
ἀγαθοὶ οἱ ἄνδρες καλοῦνται. ὅτι θαυμάσιόν τι
πρᾶγμα τῷ πλήθει δοκεῖ. καὶ μάλα εἰκό-
τως. οὐδεὶς γὰρ δίκαιος εἶναι δύναται, ὃς
θάνατον, ὃς ἄλγος, ὃς φυγὴν, ὃς πενίαν
φοβεῖται: ἢ ὃς ταῦτα ἃ τούτοις ἐναντία ἐστὶ.
τῆς δικαιοσύνης προκρίνει. καὶ μάλιστα
θαυμάζουσιν ἐκεῖνον, ὃς τοῖς χρήμασιν οὐ κι-
νεῖται, ὅ,τι γε τῷ ἀνδρὶ προφανῶς ἐστὶ, τοῦτον
ἄξιον θεαθῆναι οἴονται. ἐκεῖνα οὖν τρία ἃ
προέθεντο, ἅπαντα ἡ δικαιοσύνη παρασκευά-
ζει εἰς δόξαν καὶ τὴν εὐεργεσίαν: ὅτι λυσι-
τελεῖν τοῖς πλείστοις βούλεται, καὶ κατὰ τὸ
αὐτὸ αἴτιον τὴν πίστιν καὶ θαυμασίαν, ὅτι
τούτων πραγμάτων καὶ φρονοῦσι καὶ ὀλι-
γωροῦσι εἰς ἃ, μεγίστῃ ἐπιθυμίᾳ, οἱ πλεῖστοι
ὁρμημένοι ἁρπάζονται. καὶ δήπου ὡς ἡγοῦ-
μαι ἅπας ὁ τρόπος καὶ ἀγωγὴ τοῦ βίου.
βοηθείας τῶν ἀνθρώπων χατίζει. καὶ πρώ-
τιστα ὡς ἂν ἔχῃς μεθ' ὧν δυνηθῇς συνήθεις
συμφέρειν λόγους, ὅ,τι δύσκολόν ἐστιν, εἰ
μὴ ἀγαθοῦ ἀνδρὸς εἶδος ἐμφανεῖς. ὅθεν
ἀνθρώπῳ τῷ ἐρήμῳ καὶ τῷ ἐν ἀγρῷ διά-
γοντι, τῆς δικαιοσύνης δόκησις ἀνάγκη ἐστὶ.
καὶ τοσούτῳ μᾶλλον, ὅτι ἐὰν ταύτην οὐκ

ἔχω-

ἔχωσι, ἄδικοι νομισθήσονται. καὶ ὀυδέσὶ μὲν φυλακτηρίοις ἀσφαλισθέντες πολλαῖς λαβηθήσονται ἀδικίαις. καὶ αὐτοῖς μὲν πράττουσι ὠνουμένοις, μισθουμένοις, ἐκδιδοῦσιν, συναλλάττουσιν ἡ δικαιοσύνη πρὸς τὸ τὰ πράγματα περαίνειν ἀναγκαία ἐστίν. ἧς τοσαύτη δυναστεία ἐστὶ, ὥστε δήπου οἱ ἀνομίᾳ καὶ πονηρίᾳ τρέφονται, οὐκ ἄνευ οὐδεμιᾶς μορίου δικαιοσύνης διάγειν δύνανται. καὶ γὰρ ὅς αὐτῶν τινὸς οἳ ἅμα λῃΐζονται κλέπτεταί τι ἢ λάθρα ἀφαιρεῖται, οὗτος εἰς οὐδὲν ἑαυτῷ ἐν λῃΐδι καταλείπει τόπον; ἐκεῖνος δὲ ὅς ἀρχιπειρατὴς λέγεται, εἰ μὴ δικαίως τὴν λείαν μερίσει, ἤτοι ἀπὸ ἑταίρων ἀποκτανεῖται ἢ καταλειφθήσεται. καὶ μὴν καὶ οἱ νόμοι τῶν λῃστῶν εἶναι λέγονται, οἷς ἂν πείθοιντο καὶ οἷς ἐμμένοιεν. διὰ τὴν τῆς λείας ἰσοτελίαν οὖν καὶ μερισμόν, καὶ βαργουλος ὁ ἰλλυρικὸς λῃστὴς, περὶ οὗ, παρὰ θεοπόμπου γράφεται, μεγάλας οὐσίας εἶχε, καὶ τούτου πολλῷ πλέονας βυριατὴς λυσιτανος, ᾧ στρατιαὶ καὶ ἡγεμόνες οἱ ἡμέτεροι εἴξασιν, ὃν γάϊος λαίλιος, οὗτος ὅς σοφὸς φέρεται, ἔπαρχος ἀποδειχθεὶς κεκόλουκε, καὶ κατέαξε: καὶ τὴν ἀγριότητα αὐτοῦ οὕτω κεκολόβωκε, ὥστε ῥᾴδιον τὸν πόλεμον

λοιποῖς

λοιποῖς δεδόνασι. ἐπειδὴ οὖν τοσαύτη δι-
καιοσύνης δύναμις ἐστί, ὥστε καὶ τῶν λῃστῶν
εὐπορίας στηρίζει καὶ αὐξάνει, ὅσον αὐτῆς
μλύος μεταξὺ τῶν νόμων, καὶ κρίσεων καὶ
θεσμοθεσιῶν τῆς πολιτείας μέλλειν οἰόμε-
θα; ἔμοιγε οὐ μόνον παρὰ τοῖς μήδοις
(ὥσπερ ἡρόδοτος λέγει) ἀλλὰ καὶ παρὰ
τοῖς ἡμετέροις προγόνοις, ἕνεκα τοι τὴν δι-
καιοσύνην διαφυλάττειν, ἐκ παλαιοῦ χρόνου, οἱ
τῇ τῶν τρόπων καλοκαγαθίᾳ ἐκοσμηθέντες
βασιλεῖς κατασταθῆναι δοκοῦνται. καὶ γὰρ
ἐν ἀρχῇ ἐπειδὴ αὐτῶν τὸ πλῆθος κατετρύ-
χετο ὑπὸ ἐκείνων, οἳ μείζονας οὐσίας ἐκτῶντο,
εἰς ἕνα τινὰ τὸν τῇ ἀρετῇ λαμπρότατον συ-
νέφευγον, ὃς ὅταν τῷ τιθέναι ἰσότητα, τοὺς
λεπτοὺς ἐκδικοῖ ἀπὸ τῆς ἀδικίας, μεγίστους
μετὰ κατωτέρων ἴσῃ τῇ δίκῃ συνεῖχεν, καὶ τὸ
αὐτὸ τοῦ τοὺς νόμους τιθέναι ἦν, ὃ τοὺς βασιλέας
αἴτιον. ἡ δίκη γὰρ ἀεὶ ἐζητήθη ἴση. οὐδὲ γὰρ ἄλλως
εἴη ἂν ἡ δίκη. τούτου εἰ ἀφ' ἑνὸς δικαίου καὶ ἀγα-
θοῦ ἀνδρὸς ἐπετύγχανον: τούτῳ ἠγάπων. εἰ
δὲ μὴ συνέβαινε, οἱ νόμοι εὑρέθησαν, οἳ μεθ'
ἁπάντων μιᾷ καὶ τῇ αὐτῇ φωνῇ ἂν λέγω-
σιν. τοῦτο δήπου δῆλον ἐστί, πρὸς τὸ ἄρχειν
ἐκείνους προκρίνεσθαι εἰωθέναι, ὧν περὶ τῆς
δικαιοσύνης μεγάλη ἦν δόξα τοῦ πλήθους.

τὸ-

τούτου δὲ συζευχθέντος ὥστε τοὺς αὐτοὺς καὶ
φρονίμους νομίζεσθαι, μηδὲν ἦν, οὗ οἱ ἄνθρω-
ποι, τούτοις ἡγεμόσι, οὐκ ἐπιτυγχάνειν δύ-
νασθαι ἂν νομίσαιεν. παντὶ μὲν οὖν τρόπῳ τι-
μᾶν καὶ διαφυλάττειν δικαιοσύνην δεῖ,
τοῦτο μὲν αὐτὴν διὰ ἑαυτὴν (καὶ γὰρ
ἑτέρως οὐκ ἂν εἴη) τοῦτο δὲ διὰ τὴν τῆς τι-
μῆς, καὶ δόξης αὔξησιν. ἀλλ᾽ ὥσπερ οὐ
μόνον τοῦ τὰ χρήματα ζητεῖν, ἀλλὰ καὶ τοῦ
ἐκδιδόναι τρόπος ὁδὸν, ὃς συνεχεῖς δα-
πάνας χορηγήσει, οὐδὲ μόνον ἀναγκαίας,
ἀλλὰ καὶ ἐλευθερίους, οὕτω τὴν δόξαν μετὰ
λόγου ζητεῖν ἐκδιδόναι ἂν προσήκει. καί περ
παγκάλως ὁ σωκράτης ταύτην τὴν ὁδὸν εἰς
δόξαν ἐγγυτάτην, καὶ ὥσπερ μεθοδικὸν
τρόπον εἶναι ἔφη, εἰ οἷος τις νομίζεσθαι βού-
λεται, τοῦτο ἂν πράξηται, τοιοῦτος ἔσοιτο.
καὶ εἴ τινες προσποιήματι καὶ ἐν τῷ τὸν λό-
γον οὐ μόνον ποιεῖν, ἀλλὰ καὶ ὑπώπια, βε-
βαίου δόξης ἐὰν ἐπιτυγχάνειν δύνασθαι νο-
μίζονται, μέγα ἁμαρτάνουσι, ἀληθινὴ μὲν
ἡ δόξα ῥίζας ἔχει καὶ ἀπογίνεται: προσ-
ποιήματα δ᾽ ἅπαντα ταχὺ ὥσπερ ἀνθήλια
ἐκπίπτει. οὔτε προσποίητόν τι εἶναι ἂν δύναι-
το χρόνιον. πολλοὶ μάρτυρές εἰσι, κατ᾽ ἀμ-
φότερα, ἀλλὰ βραχύτητος ἕνεκα, ἑνὶ οἴκῳ
ἀρκεσο-

ἀρκεσθησόμεθα. Τιβέριος Γράκχος τοῦ Που-
βλίου υἱός, ἐπὶ τοσοῦτο ἐπαινεθήσεται ἕως ἂν ἡ
μνημοσύνη τῶν πραγμάτων ῥωμαίων ἂν
μείνῃ. ἀλλὰ υἱοὶ αὐτοῦ οὔτε ζῶντες ἀπὸ τῶν
ἀγαθῶν ἀνδρῶν ἐπαινοῦντο, καὶ νεκροὶ ὄντες
ἀριθμὸν δικαίως λαγχάνουσι κταμένων. οἱ
οὖν ἀληθινῆς τῆς δικαιοσύνης χρήσθωσαν κα-
θήκουσι: ἃ δὲ ἐστὶν, λέλεκται ἐν βίβλῳ τῇ προ-
τέρᾳ. ἀλλ' ἵνα ῥᾷστα οἷοι ἐσμὲν, τοιοῦτοι εἶναι
δόξωμεν (εἰ καὶ ἐν τούτῳ τῷ αὐτῷ μεγάλη δύ-
ναμίς ἐστιν, ἵνα τοιοῦτοι οἷοι νομίζεσθαι βουλώ-
μεθα ὦμεν) ὅμως περὶ τούτων, παραγγέλμα-
τά τινα δίδοσθαι δεῖ. καὶ γὰρ εἴ τις ἐκ τῶν
νέων παίδων, εὐκαιρίαν ἐπιφανείας καὶ εὐ-
κλείας ληφθεῖσαν ἔχει, ἤτοι παρὰ τοῦ πατρὸς,
(ὅ, τι σοὶ ὦ Κικέρων συμβαιβηκέναι νομίζω)
ἢ τῇ αἴσῃ καὶ τύχῃ τινὶ, εἰς τοῦτον, τῶν ἁπάν-
των ὀφθαλμοὶ ἀποβλέπουσι, καὶ ἐν ἅυτῳ
ὅτι ἂν πράττῃ, ὥσπερ διάγῃ σκοπεῖται. καὶ
ὡς ἐν τῷ ἐμφανεῖ διατρίβει, ὥστε οὐδὲν
οὔτε εἶπος, οὔτε ἔργον αὐτοῦ ἀφανὲς εἶναι
δύνασθαι. ὧν δὲ πρώτη ἡλικία, διὰ ταπεινό-
τητα, καὶ σκοτίαν, ἐν τῶν ἀνθρώπων ἀγνω-
σίᾳ διατρίβει, οὗτοι ἐπειδὴ πρῶτον ἐκ τῶν
ἐφήβων ἐξῆλθον, μεγάλα σκοπεῖν καὶ εἰς
ταῦτα ὀρθαῖς σπουδαῖς συμπράττειν ὀφεί-

λῦσιν, ὅ, τι τοσούτῳ βεβαιοτέρῳ νῦν ποιοῦσι, ὅτι οὐ μόνον οἱ ἄνθρωποι οὐ φθονοῦσι ταύτῃ τῇ ἡλικίᾳ, ἀλλὰ καὶ πρὸς ταύτην σπουδάζουσι. πρῶτον οὖν ἐστὶ τῶν νέων εἰς δόξαν ἐγκώμιον, εἴ τις ἐκ πολεμικῆς ζητεῖν δύναιτο. ἐν ᾗ πολλοὶ παρὰ ἡμετέροις προγόνοις ἐξέλαμψαν, ἀεὶ γὰρ σχεδὸν ἐπολεμοῦντο. σοῦ δὲ ἡ ἡλικία ἐνέπεσεν εἰς τοῦτον τὸν πόλεμον, οὗ μὲν ἕτερον μέρος, πανουργίας πολὺ εἶχεν. ἕτερον δὲ εὐδαιμονίας ὀλίγον, ἐν ᾧ ὅμως πολέμῳ ἐπειδή σε πομπήϊος, τῶν τάγματι ἑτέρῳ ἐφέστησεν, μεγάλου ἐπαίνου, καὶ παρὰ φορτάτου ἀνδρός, καὶ παρὰ τῆς στρατιᾶς, ἐτύγχανες, τῷ ἱππεύειν, τοξεύειν, ἅπαντα στρατιωτικῷ πόνῳ ὑπομένειν. ἀλλὰ μὴν ἐπιτυγχανόμενον πρᾶγμα μετὰ τῆς πολιτείας συνέπεσεν. ἐμοὶ δ' οὗτος ὁ λόγος ἀνεδέχθη, οὐ περὶ σοῦ μόνον ἀλλὰ περὶ γένους τοῦ ὅλου. διόπερ ταῦτα, ἃ ὑπόλοιπά ἐστιν ἐπιχειρῶμεν. ὥσπερ οὖν ἐν λοιποῖς πράγμασι, πολλῷ μεῖζόν ἐστιν, τὰ τῆς ψυχῆς ἔργα, ἢ τὰ τοῦ σώματος: οὕτω ταῦτα τὰ πράγματα, ἃ φύσει καὶ λόγῳ διώκομεν, μείζονά ἐστι τῶν ἐκείνων, ἃ τῇ ῥώμῃ συνέχονται. πρῶτον οὖν ἐγκώμιον ὁρμᾶται παρὰ τῆς κοσμιότητος. τοῦτο μὲν εὐσεβείας περὶ τοὺς γονεῖς, τοῦτο δὲ παρὰ τῆς

τοὺς

τοὺς ἑαυτοῦ εὐνοίας. ῥᾶστα δὲ εἰς βέλτιστον
μέρος γινώσκονται οἱ ἔφηβοι, οἳ εἰς ἐπι-
φανεῖς καὶ σοφοὺς ἄνδρας εὖτε τῇ πολιτείᾳ
συμβουλεύοντας εἰσέρχονται, μεθ' ὧν ἐν
συνεχεῖς εἰσὶ, δόξαν παρέχουσι τῷ δήμῳ,
αὐτοῖς μέλλειν ὁμοίους, οὓς ἑαυτοῖς πρὸς τὸ
μιμεῖσθαι ἐπέλεγον. πουβλίου ῥουτιλίου ἐφη-
βίαν εἰς τὴν τῆς ἀκακίας καὶ δικαστικῆς
ἐπιστήμης δόκησιν, πουβλίου τοῦ μουτίου ἐγ-
κωμιάζει οἱ οἰκία. καὶ γὰρ λικίνιος ὁ
κράσσος, ἐν ἦρι τῆς ὥρας ὤν, ἄλλοθεν οὐδα-
μόθεν ἔλαβεν, ἀλλὰ καὶ ἐν ὀλίγῳ, ὅσα βου-
λομένοις ἦν, ἐκ τοῦ ἀναιρεῖσθαι τὴν γραφὴν
τὴν ἐπιφανῆ περιγίνεται. ἐκ πρώτης γὰρ
ἡλικίας οἳ ἠσκοῦντο, πρώτως ἔχειν εἰώθασι.
ὡς περὶ τοῦ Δημοσθένους ἀναγινώσκομεν.
καὶ ταύτῃ τῇ ἡλικίᾳ, λικίνιος κράσσος
ἔδειξεν ἑαυτὸν, τοῦτο ἐν τῷ δικαστηρίῳ βέλτι-
στα ἤδη προμελετησάμενον ποιεῖν: ὅ τι καὶ
μετ' ἐπαίνου οἴκοι πρὸς ἑαυτὸν εἶναι ἐδυνή-
θη. ἀλλ' ἐπειδὴ ὁ τοῦ λόγου τρόπος δυσ-
σός ἐστιν, καὶ ἐν τῷ μὲν ἐστὶ διαλογισμὸς,
ἐν τῷ δὲ ἀντιμάχησις. φανερόν ἐστιν, ὅτι ἡ
τοῦ λόγου, ἀντιμάχησις, μάλιστα δυνηθῇ, καὶ
εἰς δόξαν μείζονα δύναμιν ἔχει. αὐτὴ γάρ
ἐστιν, ἣν ῥητορικὴν λέγομεν. ἀλλ' ὅμως
χαλε-

χαλεπὸν λέγειν ἐστίν, ὅσον τοὺς τῶν ἀνθρώ-
πων νοῦς, συναλλάττει ἡ εὐπροσηγορία, καὶ
τοῦ λόγου εὐπρέπεια. ἀναφαίρονται ἐπιστο-
λαὶ καὶ τοῦ Φιλίππου εἰς Ἀλέξανδρον, καὶ
Ἀντιπάτρου πρὸς Κάσανδρον, καὶ Ἀντι-
γόνου πρὸς Φίλιππον, τριῶν ἀνδρῶν φρονι-
μωτάτων (οὕτω γὰρ εἰλήφαμεν) ἃις
ἐπαγγέλλουσι, ὥστε λόγῳ δεῖ εὐνῷ, τὰς τοῦ
πλήθους διανοίας, εἰς εὔνοιαν ὀτρύνειν, καὶ
εὔνῳ λόγῳ τοὺς στρατιώτας δεῖ προσειπεῖν,
θέλγειν. ὅς δ' ἐν πλήθει μετὰ δεινότητος
φέρεται λόγος, οὗτος πολλάκις ἅπασαν
ὀτρύνει δόξαν, μέγας μὲν θαυμασμός ἐστι,
τοῦ εὐπόρως καὶ σόφως λέγοντος, ὃν οἱ
ἀκούοντες, καταμανθάνειν καὶ σοφίζεσθαι
πλείω, τῶν λοιπῶν λογίζονται. εἰ δ' ἐν
λόγῳ μιχθεῖσα μετὰ κοσμιότητος ἡ σεμ-
νότης ἐστίν. οὐδὲν θαυμαστότερον γίνεσθαι δύ-
ναται, καὶ τοσούτῳ μᾶλλον, εἰ ταῦτα ἐν
νέῳ ἐστίν. ἀλλ' ἐπειδὴ πλεῖστα τῶν πραγμά-
των γλυκύ ἐστιν, ἃ τὴν ῥητορικὴν ἐπιθυμεῖ,
καὶ πολλοὶ ἐν ἡμετέρᾳ πολιτείᾳ νέοι, καὶ
παρὰ τοῖς κριταῖς, καὶ παρὰ ταῖς βουλαῖς, δεῖ
λέγειν μεγίστου ἐπαίνου ἔτυχον: μέγιστος
θαυμασμὸς ἐν κρίσεσίν ἐστιν, ὧν δυνατός ἐστι
λόγος. καὶ γὰρ ἐξ ἀπολογίας καὶ κατη-

γορίας

γορίας συνέστηκεν. ὧν κἂν ἐπαινότερός ἐστιν
ἀπολογία, ὅμως καὶ αἰτία ἐνδόκιμος
πολλάκις ἐστί. εἶπον ὀλίγῳ πρότερον περὶ
τοῦ κράσσου. ταὐτὸ νέος ὢν ἐποίησε μάρκος
ὁ ἀντώνιος, καὶ τὴν τοῦ σουλπιτίου, ἐν τῷ
λέγειν δεινότητα τὸ αἴτιον. ἐκλαμπρότερον
ἐποίησε: ἐπειδὴ στασιαστικὸν καὶ ἄχρηστον
πολίτην, γάϊον νορβανὸν εἰς κρίσιν ἐκάλεσ-
σεν. ἀλλὰ τοῦτο δήπου πολλάκις μιμητέον,
καὶ οὐδέποτε εἰ μὴ ἤτοι τῆς πολιτείας ἕνεκα,
οἷον δύο λούκουλλοι, ἢ ἀπολογίας, ὥσπερ
ἡμεῖς ὑπὲρ σικουλῶν καὶ σάρδων. ὑπὲρ μάρκου
ἀλβουτίου ὁ ἰούλιος καῖσαρ. καὶ ἐν τῷ κα-
τηγορεῖν τοῦ μανλίου ἐγνωρίσθη τοῦ λικινίου
φουσίου ἐπιμέλεια. ἅπαξ οὖν ἢ δήπου οὐ πολ-
λάκις. εἰ δ' ἐστί, οὗ τοῦτο πολλάκις ποιεῖν δεῖ,
τῇ πολιτείᾳ τοῦτο καθήκοντος δότω, ὡς
πολλάκις ἐπὶ τῶν ἐχθρῶν αὐτοῦ ἐκδικεῖν,
ὅ,τι ἐπιτιμᾶν οὐ δεῖ, μέτρον ὅμως παρέστω.
ὠμηστοῦ μὲν ἀνθρώπου καὶ ἤτοι μᾶλλον ἥκι-
στα δοκεῖ, κίνδυνον τῆς κεφαλῆς προσ-
φέρειν τοῖς πολλοῖς. τὸ μὲν γὰρ ἐπι-
κίνδυνον, τῷ ἐκείνῳ ἐστὶ, τὸ δὲ ῥυπαρὸν
εἰς φήμην συμπράττειν, ὡς ὑπαίτιος
καλῇ. ὅ,τι συνέβαινε μάρκῳ βρούτῳ, προ-
σηγορίαν ἀπὸ φερτάτου τοῦ γένους ἔχοντι,
ἐκεί-

ἐκείνου ἥττω, ὃς τῆς δίκης μάλιστα ἔμπειρος ἦν. καὶ τοῦτο οὖν τοῦ καθήκοντος τὸ ἐπάγγελμα ἐπιμελῶς τηρητέον, μὴ ἵνα μὴ πώποτε ἄκακον εἰς τὴν τῆς κεφαλῆς κρίσιν καλῇς. τοῦτο γὰρ ἄνευ τῆς ἀνομίας γίνεσθαι μόλις δύναται. καὶ γὰρ τί μᾶλλον ἀφιλάνθρωπόν ἐστιν, ἢ τὴν ῥητορικὴν, τὴν ἀπὸ τῆς φύσεως εἰς σωτηρίαν τῶν ἀνθρώπων δεδομένην, εἰς τὸν τῶν ἀγαθῶν λοιμὸν καὶ ἀλιτήριον διαστρέφειν; οὐδ᾽ ὅμως ὥσπερ ἐκεῖνο φεύγειν δεῖ, τοῦτο ἔχειν ὡς δεισιδαιμονίᾳ ἐναντίον ἐστὶ προσήκει: ὑπὲρ κακοῦ ποτε καὶ πονηροῦ καὶ ἀσεβοῦς ἀπολογεῖσθαι. θέλει τοῦτο τὸ πλῆθος, πάσχει ἡ συνήθεια, καὶ φέρει ἀνθρωπότης. κρείττων μὲν ἐστιν ἀεὶ ἐν γραφαῖς, τὸ ἀληθεῖ ἀκολουθεῖν: τοῦ δὲ συνηγόρου ἔσθ᾽ ὅθ᾽ ὑπὲρ ὁμολογουμένου. κἂν εἰ ἧττον ἀληθὲς ἔσται, ἀπολογεῖν, ὅ,τι γράφειν ἄλλως τε, καὶ ἐπειδὴ περὶ τῆς φιλοσοφίας ἔγραψα, οὐκ ἂν ἐτόλμησα. εἰ μὴ ταὐτὸ ἤρεσε τῷ σεμνοτάτῳ τῶν στοϊκῶν Παναιτίῳ. μάλιστα δὲ καὶ ἡ δόξα, καὶ χάρις, ὑπὸ τῶν ἀπολογιῶν ζητεῖται, καὶ τοσοῦτο μᾶλλον, εἴποτε συμβαίνει,

ὥστε τούτῳ βοηθεῖσθαι, ὃς ἂν μεγάλου τινὸς εὐ-
χρείας παρακρούεσθαι καὶ διώκεσθαι δοκῇ.
ὥσπερ ἡμεῖς καὶ πολλάκις ἄλλοτε καὶ ἔφηβοι,
ἐπὶ τῇ λικινίου σύλλου ἐξουσίαν, ὑπὲρ τοῦ ἐξή-
του ῥοσκίου ἀμερίνου, ἐποιησάμην, ὅς (οὕτως
ἔχεις γνώμης) πάρεστι λόγος. ἀλλὰ διελ-
θόντες, τὰ τῶν νέων καθήκοντα, εἰς τὸ τῆς
δόξης ἐπιτυγχάνειν, ἔπειτα περὶ τῆς εὐεργε-
σίας καὶ ἐλευθεριότητος λεκτέον, ἧς δυσ-
σός ἐστιν ὁ λόγος. καὶ γὰρ ἤτοι ἔργῳ εὐερ-
γετεῖται, πρὸς τοὺς ὑστεροῦντας, ἢ χρήμασι.
ῥᾴων δὲ ὁ ὕστερος τοῦ πλουσίῳ ἄλλως πε-
ἐκεῖνος δὲ φιλοτιμότερος, καὶ λαμπρό-
τερος, καὶ ἀλκίμου καὶ περιφανοῦς ἀνδρὸς
ἀξιώτερος. εἰ γὰρ καὶ ἐν ἀμφοτέρω μὲν
ἔνεστι τοῦ χαρίζεσθαι προαίρεσις, ὅμως ἡ ἑτέ-
ρα μὲν ἐκ τῆς κυβωτοῦ, ἑτέρα δὲ ἀπὸ τῆς ἀρε-
τῆς προφέρεται. καὶ ἡ δόσις ἡ παρὰ τῆς οἰκο-
νομίας γίνεται, ταύτην τὴν τῆς εὐνοίας
πηγὴν ἐξαντλᾷ. οὕτω διὰ εὔνοιαν αἴρεται
ἡ εὔνοια, ἢ ὅσῳ μᾶλλον εἰς πλείους κέχρη-
σαι; τοσούτῳ ἧττον εἰς πολλοὺς χρῆσθαι δυνή-
σει. καὶ μὲν οἱ ἔργῳ, τουτέστι τῇ ἀρετῇ, καὶ
εὐφυΐᾳ, ἐλευθέριοι ὄντες: πρῶτον μὲν ὅσῳ
πλείοσι ἐλυσιτέλησαν, τοσούτῳ πλείους, εἰς
τὸ εὐνοϊκῶς ποιεῖν βοηθοὺς ἕξουσιν. ἔπειτα τῇ
τῆς

τῆς εὐεργεσίας συνηθείᾳ ἑτοιμότεροι ἔσονται
καὶ ἀσκητότεροι πρὸς τὸ τοὺς περὶ ἄλλους
εὐεργετῆσαι. παγκάλως ἔν τινι ἐπιστολῇ ἀλέ-
ξανδρον υἱὸν αἰτιᾶται ὁ φίλιππος, ὅτι διὰ
τὴν δόσιν, τὴν τῶν μακεδόνων εὔνοιαν ἂν
θηρῷται, τί δὲ κακόν φησιν, εἰς ταύτην τὴν
τοῦ λόγου ἐλπίδα, ἤγαγε, ἵνα τούτους σοὶ
πιστοὺς μέλλειν νομίζῃς, οὓς διὰ χρημάτων
ἀπολωλέκῃς; ἢ τοῦτο σὺ πράττεις, ἵνα οἱ
μακεδόνες οὔ σε βασιλέα αὐτῶν, ἀλλὰ θε-
ράποντα, καὶ δοτῆρα οἴωνται; οὗ τί ῥυπα-
ρώτερον τῷ βασιλεῖ; ἄμεινον καὶ μὴν, ὅτι
δόσιν, ἀπόλειαν εἶναι λέγει, γίνεται γὰρ
χείρων ὃς εἴληφε, καὶ πρὸς τὸ ταυτὸ ἀεὶ
προσδοκᾷν ἑτοιμότερος. τοῦτο ἐκεῖνος τῷ
υἱῷ ἔγραψε, ἀλλὰ ταύτην διδαχὴν ἂν οἰώ-
μεθα τοῖς ἅπασιν ἀναγκαίαν εἶναι. Διόπερ
τοῦτο παντελῶς φανερόν ἐστιν, ὅτι ἐκείνη ἡ
εὔνοια ἡ ὑπὸ τοῦ ἔργου καὶ τῆς φιλοπονίας
συνέχεται, καλλίων τε ἐστὶ καὶ πορρωτέρω
κατατείνει, καὶ τοῖς πλείστοις λυσιτελεῖν
δύναται. ἐνίοτε ὅμως δοτέον, οὐδὲ τοῦτο τὸ
τῆς εὐνοίας γένος παντάπασιν ἀπωθεῖσθαι
δεῖ. καὶ πολλάκις ἀξιοπίστοις ἀνθρώποις καὶ
δεομένοις, ἐκ τῆς οὐσίας ἡμῶν διδόναι δεῖ,
ἀλλ' ἐπιμελῶς καὶ μετρίως. πολλοὶ γὰρ

τὴν πατρικὴν κληρονομίαν, περὶ διδόναι ἀπροσβουλεύτως ἀνήλωσαν. τί δὲ ἀβελτερώτερον, ἤ, ὅ,τι ἡδέως κτήσεις ἀπεργάζεσθαι, ὥστε τοῦτο μακρότερον κτεῖν οὐ δύνασθαι; καὶ μὴν καὶ τῇ δόσει αἱ λῆψαι ἀκολουθοῦσιν, ἐπειδὴ γὰρ περὶ διδόναι δεῖσθαι ἤρξαντο, τῶν ἄλλων οὐσίαις τὰς χεῖρας προσφέρεσθαι βιάζονται. οὕτω ἐπειδή, τοι τὴν εὔνοιαν ζητεῖν ἕνεκα, εὐεργέται εἶναι βουλήσονται, οὐ τοσοῦτον εὐνοιῶν ἐπιτυγχάνουσιν ἐκείνων οἷς δεδώκασι, ὅσον μίσους ἐκείνων ὧν ἀφήρηνται. Διόπερ οὔθ' οὕτω διαπτύσσειν τὰς οὐσίας δεῖ, ὥστε ταύτας τὴν εὔνοιαν ἀναπτύσσειν οὐ δύνασθαι, οὔτε οὕτω διαπτύσσειν δεῖ, ὥστε ἅπασιν ἀνεῳγμένην εἶναι. ἀλλ' ὁ τρόπος ἐχέσθω, καὶ οὗτος εἰς τὰς δυνάμεις ἀναφερέσθω. παντάπασιν τούτου μνημονεύειν ὀφείλομεν, ὅ,τι παρὰ τῶν ἡμετέρων ἀνθρώπων, πολλάκις ὡς φιλεῖ, καὶ ἤδη εἰς τῆς προοιμίας συνήθειαν παραμικρὸν ἧκεν, τὴν δόσιν πιθμένα οὐκ ἔχειν. καὶ γὰρ τί δύναται εἶναι μέτρον, ἐπειδὴ καὶ οἱ εἰωθότες, καὶ τούτου αὐτοὶ οἱ ἄλλοι ἂν ὀρέξωνται; Παντελῶς δύο γένη τῶν δοτήρων ἐστίν. ὧν οἱ μὲν ἄσωτοι, οἱ δὲ ἐλευθέριοι καλοῦνται. ἄσωτοι μὲν οἳ εἰς τὰς ὑποδο-

χάς,

χὰς, καὶ δαῖτας, καὶ μαχητῶν τάξεις,
καὶ τῶν ἀγώνων καὶ θηρῶν δαπάνας, πολ-
λὰ χρήματ᾽ ἀναλίσκουσι, εἰς ταῦτα τὰ
πράγματ᾽, ὧν μνημοσύνην, ἤτοι βραχεῖ-
αν, ἢ παντελῶς οὐδεμίαν καταλείψουσι.
ἐλευθέριοι δὲ λέγονται, οἱ ταῖς οὐσίαις αὐ-
τῶν, ἤτοι τοὺς αἰχμαλώτους, ἀπὸ τῶν λῃ-
στῶν λύουσιν, ἢ τῶν φίλων ἕνεκα τὸν χαλ-
κὸν, ἀλλότριον ὑποδέχονται, ἢ ἐν τῶν θυ-
γατέρων ἐκδόσει λυσιτελοῦσιν, ἢ βοηθοῦσιν,
ἤτοι ἐν τῷ τὰ χρήματα ζητεῖν, ἤτοι αὔξειν.
θαυμάζω οὖν τί εἰς τὴν τοῦ θεοφράστου διά-
νοιαν ἦλθε, ἐν αὐτῇ τῇ βίβλῳ ἣν περὶ χρη-
μάτων ἔγραψεν: ἐν ᾗ τὰ πολλὰ παγκά-
λως, ἀλλὰ τοῦτ᾽ ἀτόπως. εὔπορος γάρ
ἐστιν, ἐν τῷ ἐγκωμιάζειν τὴν μεγαλοπρέ-
πειαν καὶ δημίων δόσεων: καὶ τούτων δα-
πανῶν δύναμιν, τῶν οὐσιῶν καρπὸν οἴε-
ται. ἐμοὶ δὲ αὐτὸς ὁ ἐλευθεριότητος καρ-
πὸς, ἧς παραδείγματα οὐ πολλὰ ἔθηκα, πολλῷ
καὶ μείζων δοκεῖ, καὶ βεβαιότερος. ὅσῳ δὲ ὁ
ἀριστοτέλης δεινότερον καὶ ἀληθεστέρως, ἡμᾶς
ἀποδοκιμάζει, τοὺς ταῦτα τῶν χρημάτων ἀνα-
λώματα οὐ θαυμάζοντας, ἃ εἰς τὸ πλῆθος
θέλγειν γίνεται. καὶ μὴν αὐτοὶ οἱ παρὰ τῶν ἐχ-
θρῶν πολιορκοῦνται, εἰ ἂν τὴν τοῦ ὕδατος ξέστην

μνᾶς ὠνεῖσθαι βιάζοιντο, τοῦτο πρῶτον ἀκούειν ἄπιστον ἡμῖν δοκεῖν, καὶ ἅπαντας θαυμάζειν, ἀλλ' ἐπειδὴ προσέχουσι, τῇ ἀνάγκῃ ἂν συγχωρήσουσιν. ἐν ταύταις ταῖς μεγάλαις ζημίαις, καὶ ἀμέτροις δαπάναις μέγα οὐδὲν ὑμᾶς θαυμάζειν. ἐπειδὴ ἄλλως τε, οὔτε τῇ ἀνάγκῃ βοηθεῖται, οὔτε τὸ ἀξίωμα αὐξάνεται. καὶ ταυτὸ τὸ τοῦ πλήθους θέλκτρον, εἰς μικρὸν καὶ ὀλίγον μένει χρόνον. καὶ τοῦτο ἐκ τοῦ κουφοτάτου νοῦ, ἐν ᾧ ὅμως αὐτῷ, ἅμα μετὰ κόρου καὶ πλησμονῆς ἡ τῆς ἡδονῆς μνημοσύνη ἀποθνήσκει. κατὰ μοῖραν οὖν συλλέγεται, ταῦτα τοῖς παιδίοις, καὶ γυναιξὶ, καὶ δούλοις καὶ τῶν δούλων ὁμοιοπαθέσι ἐλευθέρων ἀρεστὰ εἶναι, τῷ σεμνῷ δὲ ἀνθρώπῳ, καὶ ταῦτα ἃ γίνεται, κατ' ἀληθινὴν κρίσιν σκεπτομένῳ οὐδαμῶς ἀρέσκειν δύνασθαι. καί τοι καθαμαντάνω ἐν ἡμετέρᾳ τῇ πόλει γεγηρακέναι, ἤδη τοῖς ἀγαθοῖς χρόνοις, ὡς ἡ τῶν ἀστυνομιῶν λαμπρότης, παρὰ τῶν βελτίστων ἀνδρῶν αἰτεῖται. οὐκοῦν πούβλιος κράσσος ὃς ἐπωνομαστὸς πλούσιος, ταῖς δυνάμεσι, τῆς ἀστυνομίας μεγίστῃ τάξει ἐχρήσατο. καὶ ὀλίγῳ μετὰ ταῦτα, λικίνιος κράσσος, μετὰ τῶν ἀνθρώπων μετριωτάτου, κοΐντου μουτίου, λίαν μεγαλο-

περιπετεῖ ἀσωμίᾳ ἐχρήσατο. ἔπειτα κάϊος
κλαύδιος, τοῦ ἀππίου υἱὸς, καὶ οἱ πολλοὶ
ὄπισθεν λούκουλλος, ὁρτένσιος, συλλα-
νὸς, ἁπάντων μὲν ὁ πόβλιος λέντου-
λος ἐμοῦ ὑπάτου ὄντος ἐκράτησε τῶν προ-
τέρων, αὐτῷ δὲ ὁ σκαῦρος ἠκολούθησε. λαμ-
πρότατοι δὲ ἡμετέρου τοῦ πομπηΐου, αἱ δό-
σεις, δεύτερον ὑπατεύοντος: ἐν οἷς πᾶσι τί
ἐμοὶ ἀρέσκει βλέπεις. διαφεύγειν ὅμως τὴν
τῆς πλεονεξίας ὑπόνοιαν δεῖ. καὶ γὰρ τοῦ
μαμέρκου, ἀνθρώπου τοῦ πλουσιοτάτου, ἡ τῆς
ἀσωμίας παράλειψις, τὴν τῆς ὑπατείας
ἀνάλευσιν προσήνεγκε. Διόπερ ὁπουδὴ αἰ-
τεῖται ἐκ τοῦ δήμου, τῶν ἀγαθῶν ἀνδρῶν
εἰμὴ ἐπιθυμούντων, ὅμως μὲν τοι δοκιμα-
ζόντων, ποιεῖν δεῖ: μόνον ἐκ τῆς δυνάμεως,
ὥσπερ ἡμεῖς οἱ αὐτοὶ ἐποιήσαμεν. καὶ εἴπο-
τε πρᾶγμά τι μεῖζον, ἤτοι χρησιμώτερον τῆς
τῶν χρημάτων ἀποβολῆς ζητεῖται, ὅιον τοῦ
ὀρέσι νεωσὶ τὰ δεῖπνα ἐν τοῖς τρίβοις, τῷ τῆς
δεκάτης ὀνόματι μεγάλην τιμὴν παρέχον.
οὔτε μάρκῳ δήπου σηΐω ὄνειδος ἐνομίσαν-
το, ὅτι ἐν σιτοδείᾳ, τῷ δήμῳ δι᾽ ἀσσάριον τὸ
μέτρον ἐπώλησεν. μεγάλου γὰρ ἀπὸ πα-
λαιοῦ φθόνου, οὔτε ζημίᾳ αἰσχρᾷ ὅτε ἀσωό-
μος ἦν, οὔτε μεγίστῃ ἑαυτὸν ἀπάλλαξεν.

ἀλλὰ τοῦτο ἄρτι ἡμέτερον τὸν μίλωνα ἐγκωμιάζει μέγα, ὅ,τι μαχίμων τῆς πολιτείας ἕνεκα ὠνηθέντων, ἣ διὰ τὴν ἡμετέραν σωτηρίαν συνείχετο: οἷς ἁπάσας τοῦ πουβλίου κλωδίου παρασκευὰς, καὶ τῆς διανοίας παραφορὰς ἐκώλυσε. αἰτία δὲ τῆς δόσεως ἤτοι ἀνάγκη ἐστὶν, ἢ χρήσιμος, τῆς δὲ μετριότητος τρόπος ἐν πᾶσι βέλτιστός ἐστι. λικίνιος δήπου φίλιππος τοῦ κυΐντου φαβίου υἱός, ὁ τῆς μεγίστης φύσεως, ἀνὴρ, καὶ ὁ ὑπὲρ τὸν κατάλογον, γαυριᾶν εἴωθε, τοῦ δώρου ἄνευ τῶν ἁπάντων, ἃ ἔχοιτο ἂν φέρτατα τετυχηκέναι. ταυτὸ ὁ κόττα κουρίων ἔφη, καὶ ἡμῖν περὶ τούτου, ὅπως οὖν ἔξεστι καυχᾶσθαι. καὶ γὰρ πρὸς τὸ τῶν τιμῶν μέγεθος, ὧν διὰ πασῶν χειροτονιῶν ἐτύχομεν, ἡμετέρῳ γε τῷ ἔτει (ὅ,τι ἂν οὐδενὶ αὐτῶν συνέβη οὓς ἤδη ὠνόμασα) ἡ δήπου τῆς ἀστυνομίας δαπάνη μικρὰ ἦν, καὶ μὴν καὶ ταῦτα τὰ ἀναλώματα ἀμείνω ἐστὶ, τείχη, πορθμοὶ τῶν ὑδάτων χρεῖαι, τὰ ναυτικὰ, καὶ ἅπαντ᾽ ἃ εἰς τὴν τῆς πολιτείας χρείαν παρατείνει. καί τοι περ ὅ,τι παρὸν καὶ ὥσπερ εἰς χεῖρα ἐδόθη, ἥδιόν ἐστιν. ὅμως τὰ δὲ εἰς ὕστερον τὰ θέατρα, ναοὶ νέοι, προπύλαια, χαριέστερά ἐστι. οὐδέστερον ἐπιτιμῶ διὰ πομπηΐον, ἀλλὰ

σοφώτατοι οὐ δοκιμάζουσιν, ὡς καὶ ὁ Παναίτιος, ᾧ πολὺ ἐν ταύταις ταῖς βίβλοις ἠκολούθησα, οὐχ ἑρμηνεύουσα. καὶ Φαληρεὺς ὁ Δημήτριος, ὃς Περικλέα τὸν τῆς Ἑλλάδος ἄρχοντα, αἰτιᾶται, ὅτι τοσαῦτα χρήματα εἰς ἔνδοξα ἐκεῖνα προπύλαια συνήνεγκε. ἀλλὰ περὶ τοῦ γένους ὅλου, ἐν ταύταις βίβλοις, ἃς περὶ τῆς πολιτείας ἔγραψα, ἐπιμελῶς διελέχθη. ὅλος οὖν τῶν τοιούτων δόσεων ὁ λόγος, ἐν τῷ γένει καλός ἐστι, τῷ καιρῷ ἀναγκαῖος, καὶ ὅμως αὐτὸν, καὶ εἰς δύναμιν ἀναφέρειν, καὶ κατὰ τὴν μετριότητα μετρεῖσθαι δεῖ. ἐν ἐκείνῳ δὲ ἑτέρῳ τοῦ διδόναι τῷ γένει, ὅ,τι ἀπὸ τῆς ἐλευθεριότητος ὁρμεῖται, οὐχ ἁπλοϊκῶς, καθ' ἕνα τρόπον ἐν διαφόροις πράγμασιν διάκεισθαι ὀφείλομεν: ἄλλη μὲν ἐκείνου αἰτία ἐστὶν, ὃς ἀπὸ τῆς συμφορᾶς θλίβεται; ἄλλη δ' ἐκείνου ὃς πράγματι ἄμεινω ζητεῖ, μηδενὸς αὐτοῦ τοῦ πράγματος νοσοῦντος. ἑτοιμοτέρα ἡ εὐεργεσία πρὸς τοὺς ταλαιπώρους εἶναι ὀφείλει, εἰ μὴ ἴσως τῆς ταλαιπωρίας ἔσονται ἄξιοι. τοῖς ἐκείνοις ὅμως οἳ βοηθεῖσθαι βούλοιντο ἂν, μὴ ἵνα μὴ ἀτυχῶσι ἀλλ' ἵνα εἰ τὸν ἀνώτερον τόπον ἀναβαίνωσι.

παι-

παντάπασιν συνεφάπτεσθαι ὀφείλομεν. ἀλλ' ἐν τῷ προαιρεῖσθαι τοὺς ἱκανοὺς, κρίσιν καὶ ἐπιμέλειαν παρέχειν δεῖ. καὶ γὰρ παγκάλως ὁ ἔννιος λέγει, τὰς ἀγαθοποιΐας τὰς κακῶς ἐκδιδομένας κακοποιΐας εἶναι λογίζομαι. ὅ,τι δὲ τῷ ἀγαθῷ καὶ τῷ χαρίεντι ἀνδρὶ ἀνατίθεται, ἐν τούτῳ τὰ μὲν ἐξ αὐτοῦ, τὰ δὲ ἐκ λοιπῶν καρπός ἐστιν. ἀνῃρημένης γὰρ τῆς προπετείας, ἡ ἐλευθεριότης χαριεστάτη ἐστὶν, ἀνθ' ὧν αὐτὴν σπουδαιότερον οἱ πλεῖστοι αἰνοῦσι, ὅτι ἡ φερτάτου τοῦ ἑκάστου ἀγαθωσύνη, κοινὴ τῶν ἁπάντων ἐστι καταφυγή. σπουδάζειν τοίνυν ἐπιμελῶς δεῖ, ὅπως τοιαύταις εὐεργεσίαις, ὡς πλείστους εὐεργετῶμεν, ὧν παιδίοις καὶ ἀπογόνοις προδίδωται ἡ μνημοσύνη, ἵνα τούτοις ἀχαρίστοις εἶναι μὴ ἔξῃ. πάντες γὰρ τοὺς τῆς εὐεργεσίας ἀμνήμονας οἱ ἄνθρωποι μισοῦσι, καὶ ταύτην τὴν ἀδικίαν, ἡ ἐν τῷ ἀποπλήττειν τὴν ἐλευθεριότητα γίνεσθαι εἴωθε, ἑαυτοῖς καὶ γίνεσθαι νομίζουσι, καὶ τοῦτο κρίνοντα, κοινὸν τῶν πενιχρῶν ἐχθρὸν οἴονται. καὶ μὲν αὕτη ἡ ἔννοια, καὶ τῇ πολιτείᾳ χρήσιμός ἐστιν, ἡ αἰχμαλώτους ἀπὸ τῆς δουλείας ἐξαγοράζεται, καὶ τοὺς μικροτέρους πλουτίζει, ὅ,τι ἄξιον, παρὰ τοῖς ἡμε-

τέροις ἀνθρώποις ποιῆσαι, ἐν τῷ τοῦ κράσου λόγῳ γεγραμμένον εὐπόρως ἀναγινώσκομεν. ταύτην οὖν τὴν τῆς εὐεργεσίας συνήθειαν τῆς τῶν δώρων δόσεως προοιμῶ. ἡ μὲν τῶν σεμνῶν καὶ μεγάλων ἀνθρώπων ἐστίν: ἡ δὲ οἷον τῶν τοῦ δήμου στωμύλων, τῶν τοῦ πλήθους κουφότητα, μετὰ τῆς ἡδονῆς θελγόντων. προσήκει δὲ, τοῦτο μὲν ἐν τῷ διδόναι ἐλευθεροπρεπῆ εἶναι. τοῦτο δ' ἐν τῷ εἰσπράττειν οὐ στρυφνόν, καὶ ἐν τῷ τῶν ἁπάντων συναλλάγματι πραγμάτων, ἐν τῷ πωλεῖν, ὠνεῖσθαι, συγγίνεσθαι, ἐκδιδόναι, ἐν ταῖς γειτονίαις καὶ περιορισμοῖς: ἐπιεικῆ καὶ εὐπαράγωγον. πολλὰ τοῖς πολλοῖς περὶ τῆς δίκης αὐτοῦ ἐνδιδόντα. ἀπὸ τῶν διαφορῶν, ὅσον ἔξεστι ἀπεχόμενον. ἐστὶ γὰρ οὐ μόνον ἐλευθέριον μικρὰ περὶ δίκης αὐτοῦ ἔχειν, ἀλλ' ἐνίοτε χρήσιμον. ἀλλά τι τὸν τῆς οἰκονομίας ἐπιμέλειαν ἔχειν δεῖ, ἥνγε πεπτωκυῖαν παριέναι αἰσχρόν ἐστιν. ἀλλ' οὕτως ὥστε ἡ τῆς ἀνελευθερίας καὶ πλεονεξίας ἀπεῖναι ὑπόνοιαν. χρῆσθαι πρὸς τούτοις τῇ ἐλευθεριότητι, καὶ τῆς πατρικῆς κληρονομίας οὐ στερεῖσθαι, μέγιστός γε τῶν χρημάτων καρπός ἐστιν. ὀρθῶς καὶ παρὰ τοῦ Θεοφράστου ἐπῄνηται ἡ φιλοξενία,

νία, ἔστι γὰρ ὡς ἐμοὶ δοκεῖ, λίαν πρέπον
τὰ τῶν λαμπρῶν ἀνθρώπων δώματα, τοῖς
ἀνεωγμένα εἶναι ξένοις, καὶ τοῦτο, καὶ
ἡμετέραν τὴν πολιτείαν μέγα κοσμεῖ, ὅτι
ἄνθρωποι οἱ ἀλλότριοι τοῦ τῆς ἐλευθεριότη-
τος τρόπου ἐν ἡμετέρᾳ πόλει οὐχ ὑστεροῦν-
ται. ἔστι γὰρ πρὸς τούτοις μέγα χρήσιμον
αὐτοῖς, τοῖς τὰ πολλὰ καλῶς δύνασθαι βου-
λομένοις, διὰ τῶν ξένων, παρὰ τῶν ἀλλοτρίων
δήμων ἰσχύειν ταῖς εὐπορίαις καὶ χάρισι.
Θεόφραστος γράφει γε τὸν Κίμωνα ἀθήνη-
σι, καὶ περὶ τοὺς αὐτοῦ ἀγραίους τοὺς λα-
κιάδας, φιλόξενον γενέσθαι, καὶ οὕτω γὰρ
καταπεθεικέναι, καὶ τοῖς ἀγροίκοις συνεπεί-
λασθαι, ὥσθ' ἅπαντα παρέχεσθαι αὐτοῖς,
οἵτινες λακιάδαι ἐν τῇ ἐπαύλιδι αὐτοῦ
ἂν καταλύσαιντο. ἃ δὲ ἔργα, οὐ δόσει ὡς
ἀγαθοποιΐαι δίδονται, αὗται τοῦτο μὲν
εἰς ἅπασαν τὴν πολιτείαν, τοῦτο δ' εἰς
ἑκάστους πολίτας εἰσφέρονται. καὶ γὰρ ἐν
δίκῃ συγγράφεσθαι, καὶ βουλῇ βοηθεῖν, καὶ
κατὰ τὸ ταύτης τῆς ἐπιστήμης γένος, ὡς
πλείστοις λυσιτελεῖν, μέγα καὶ πρὸς τὸ
τὰς οὐσίας αὔξειν καὶ χάριν παρατείνει. Διό-
περ ἐπειδὴ τῶν ἡμετέρων προγόνων πολλὰ
μεγαλοπρεπῆ ἦν, ὅμως βέλτιστα, δίκης πολι-
τικοῦς

τικῆς τῆς δεδογμένης, μεγίστη ἐν τιμῇ ἀεὶ ἡ
σύνεσις καὶ ἑρμηνεία ἦν, ἥνγε πρὸ ταύτης
τῶν χρόνων, τῆς συγχύσεως, ἐν κτήσει αὐ-
τῶν κέκτηνται οἱ ἄρχοντες. νῦν μὲν, οἷον αἱ
τιμαὶ, οἷον οἱ ἅπαντες τοῦ ἀξιώματος κλί-
μακες, οὕτω καὶ ἡ ταύτης τῆς ἐπιστήμης
λαμπρότης, ἀπολώλεκε, καὶ τοῦτο τοσούτῳ
ἀναξιώτερον, ὅτι ἐν τούτῳ τῷ χρόνῳ, τοῦτο
συμβέβηκε, ὅτε οὗτος ἂν εἴη, ὃς τῶν προτέ-
ρων, οἷς τῇ τιμῇ ὅμοιος εἴη τῇ ἐπιστήμῃ ῥα-
δίως ἂν κεκρατήκοι. ταῦτα οὖν τὰ ἔργα χα-
ρίεντα τοῖς πολλοῖς ἐστι. καὶ εἰς τὸ τοὺς ἀνθρώ-
πους ἀπεργάζεσθαι ὠφελέτας ἡμῶν ἐπιτή-
δεια. καὶ μὴν ταύτῃ τῇ τέχνῃ ἐγγυτάτη
ἐστί. ἡ τοῦ λέγειν δύναμις, καὶ μείζων, καὶ
χαριεστέρα καὶ κοσμιωτέρα, τί γὰρ τῆς ῥη-
τορικῆς ἐπαινετώτερον, τί προφερέστερον, ἤτοι
θαυμασμῷ τῶν ἀκουόντων, ἤτοι ἐλπίδι δεόν-
των, ἤτοι τῶν αὐτῶν οἱ σώζονται χάριτι; ταύτη
οὖν ἡ παρὰ τῶν ἡμετέρων προγόνων, ἐν ὅλῳ
ἀξιώματι δέδοται ἡ ἀρχὴ πολυλόγου ἀνθρώ-
πους εὖτε γινοῦντο, ὅ, τι ἐν τρόπῳ τῷ πατρίῳ
ἐστὶ, τῶν πολλῶν αἰτίας καὶ οὐ χαλεπῶς,
ἀλλὰ δωρεὰν καὶ εὐνοϊκῶς ἀπολογουμένους
τοῦ εὐεργετήματα καὶ συνηγορίαι, μάλιστα
ἀνήκουσι. παρακελεύεται ἐμὲ τὸ πρᾶγμα,

ὥστε

ὥστε καὶ τούτῳ ἐν τόπῳ τὴν τῆς ῥητορικῆς διάλειψιν, μὴ λέγω ἧτταν κλαίειν, εἰ μὴ δείδοιμοι μὴ ὑπὲρ ἐμαυτοῦ τι δοκῶ κατοδύρεσθαι. ἀλλ' ὅμως βλέπομεν, ὧν ἀποθανόντων ῥητόρων, ὡς ἐν ὀλιγωτέροις δύναμις, ὡς ἐν πολλοῖς ἡ τόλμα ᾖ. ἐπειδὰν δὲ ἅπαντες οὐ δυνηθῶσι ἤτοι δικανικοὶ εἶναι, ἢ ῥήτορες, ὅ,τι ὀλιγίστοις δήπου συμβαίνει. ἔνεστι ὅμως περὶ ἔργῳ ὡς πλείστοις συνετελεῖν, τὰ εὐεργετήματα αἰτεῖσθαι, συστήσασθαι τοῖς κριταῖς, καὶ ἀρχαῖς, ὑπὲρ πράγματος τοῦ ἀλλοτρίου γρηγορεῖν, καὶ τῶν αὐτῶν τούτων, οἳ ἤτοι συμβουλεύουσι, ἢ ἀπολογοῦνται, δεῖσθαι, ὅτι οἱ ποιοῦντες πλείστης τῆς χάριτος ἐπιτυγχάνουσι: καὶ μάλιστα τούτων ῥέπει ἡ ἐπιμέλεια. ἤδη περὶ τούτου οὖν παρακελεύεσθαι δεῖ (ἔστι γὰρ δὴ ἑτοίμου) ὡς σκέπτονται, ὅταν τοῖς ἄλλοις βοηθεῖν βούλονται, μὴ ἐν ὀργῇ ὦσί τινι, πολλάκις γὰρ αὐτοὺς ἤτοι οὓς ἀναγκαῖον ἦν, ἢ ἐκείνους οὓς οὐ λυσιτελεῖ, βλάπτουσι, εἰ μὲν ἄφρονες ἀμελείας ὅσι, εἰ δὲ εἰδότες προπετείας χρηστέον καὶ τῇ ἀπολογίᾳ, περὶ τοὺς αὐτοὺς. οἷς ἄκεον τὴν δυσχέρειαν προσήνεγκες ὡς μάλιστα δύνῃ δὴ ὧν τοιοῦτο ὅ,τι ἐποίησας, ἀναγκαῖον ἦν, οὐθ' ἑτέρως ποιεῖν ἂν ἐδυνήθης.

θης, καὶ ἀληθινοῖς ἔργοις, καὶ καθήκου-
σι, ὅ, τι βεβίασθαι, ἀμείβειν δεῖ. ἀλλ' ἐπειδὴ
ἐν τῷ τοῖς ἀνθρώποις βοηθεῖν, ἤτοι τὰ ἤθη
σκέπτεσθαι, ἢ τύχη εἴωθε, λέγειν δήπου εὐκα-
τάφορόν ἐστι. δημοσίως οὖν φασὶν ἑαυτοὺς ἐν
τῷ τὰς ἀγαθοποιίας ἐκδιδόναι, τὰ τῶν ἀν-
θρώπων ἤθη, καὶ οὐ τὰς τύχας σκοπεῖν.
καλὸς ὁ λόγος ἐστί. ἀλλὰ τίς ἐστιν ἄρα, ὅς
τοι πενιχροῦ καὶ βελτίστου ἀνδρὸς ἐν τῷ εὐερ-
γετεῖν οὐ προτιθῇ χάριν μεγάλου καὶ πλου-
σίου ἀνδρός; ὑφ' οὗ γὰρ εὐεργετούμενος, καὶ
ὤκιον ἡ ἄμειψις μέλλειν δοκεῖ, εἰς αὐτὸν σχε-
δὸν προαίρεσις ἡ ἡμετέρα ἐστί. ἀλλὰ σκεπτέον
ἐπιμελέστερον τίς τῶν ἀνθρώπων φύσις ἦ. ὁ
γὰρ ἐκεῖνος δήπου, εἰ ἀγαθὸς ἀνήρ ἐστι καὶ
εἰ καὶ τὴν χάριν ἀναφέρειν οὐ δύναται,
ἔχειν δήπου δύναται. εὐχαίρως δέ τις λέλε-
χε τὸν τὰ χρήματα ἔχοντα, οὐκ ἀνενηνοχέ-
ναι, καὶ τὸν ἀναφέροντα, οὐκ ἔχειν, χάριν
δὲ καὶ ὃς ἀνενήνοχεν ἔχειν, καὶ ὃς ἔχῃ ἀνε-
νηνοχέναι. νὴ Δία ἀλλὰ οἱ ἑαυτοὺς τοὺς πλου-
σίους, τιμίους καὶ μακαρίους οἴονται, οὗτοι τῇ
ἀγαθοποιίᾳ δεσμεύεσθαι οὐδὲ θέλουσι. καὶ
μὴν καὶ τὴν ἀγαθοποιίαν δεδωκέναι λο-
γίζονται, ἐπειδὰν οἱ αὐτοὶ καί τοι μέγα τι
εἰλήφωσι, ὁμοίως ὑπὸ ἑαυτῶν ἤτοι αἰτεῖσθαι

 ἢ προσ-

ἢ προσδοκᾶσθαι εὖ ὑποβλέπουσι, συνηγορίᾳ
δὲ χρῆσθαι ἢ ἀπολογηθέντας καλεῖσθαι, δίκην
τοῦ θανάτου νομίζουσι. ἀλλά τοι ἐκεῖνος ὁ
πένης, ἐπειδὴ εὖ πεποίηται, ἐσκέφθαι, καὶ
οὐ τύχην νομίζει, καὶ οὐ μόνον ἐκείνῳ, ὃς
εὐεργέτησε, ἀλλὰ καὶ αὐτοῖς, ἀφ' ὧν προσ=
δοκᾷ (δεῖται γὰρ πολλῶν) εὐχάριστον ἑαυ=
τὸν δοκεῖν σπουδάζει, οὐδὲ γὰρ τοῖς ἔπεσι,
τὸ δῶρον αὐτῷ αὔξει, εἴ τινι ἴσως χρῆται,
ἀλλὰ καὶ ταπεινοί. βλεπτέον τε ἐκεῖνο ταυ=
τὸ, ἐὰν τὸν πλούσιον καὶ εὐτυχῆ σώζῃς, ἐν
ἐκείνῳ ἐνὶ, ἢ ἴσως ἐν παισὶν αὐτοῦ, μένει ἡ
χάρις, εἰ δὲ πένητα, ἀγαθὸν ὅμως καὶ σώ=
φρονα, ἅπαντες οὐ πονηροὶ οἱ ταπεινοὶ, (ὧν
μεγάλων ἐν δήμῳ πλῆθός ἐστι) βοήθειαν
ἑαυτοῖς γεγονυῖαν βλέπουσι. Διόπερ ἄμει=
νον παρὰ ἀγαθοῖς, ἢ παρὰ εὐτυχέσι τὸ εὐεργέ=
τημα ἐκδίδοσθαι οἴομαι, σπουδάζειν παντε=
λῶς δεῖ, ὥστε παντὶ τῷ γένει ἀπαντᾶν δυ=
νησόμεθα, ἀλλὰ εἰ τὸ πρᾶγμα εἰς τὴν σύγ=
κρισιν ἐλεύσεται, Θεμιστοκλῆ δήπου εἰση=
γοῦντα προσφέρειν δεῖ, ὃς ὅτε εἰρωτήθη, πό=
τερον ἀγαθῷ καὶ πενιχρῷ τῷ ἀνδρὶ ἢ ἧττον
δοκίμῳ καὶ πλουσίῳ, θυγατέρα αὐτοῦ ἐκ=
διδοίη: ἐγώ φησι αἱροῦμαι μᾶλλον τὸν
ἄνδρα, τὸν τῶν χρημάτων ὑστεροῦντα, ἢ τὰ
χρήμα=

χρήματα τὰ τῶν ἀνδρῶν δεόμενα. ἀλλὰ διαφθαρέντα καὶ πονηρὰ τὰ ἤθη, διὰ τοῦ τῶν ὀυσιῶν θαυμασμοῦ ἐστι, ὧν τὸ μέγεθος τί εἰς τὸν ἡμῶν ἕκαστον παρατείνει; τῷ ἔχοντι ἴσως βοηθεῖ, οὔτε δήπου τοῦτο ἀεί, ἀλλ᾽ ἔστω γε βοηθεῖν, κρείσσων δήπου ἂν γένοιτο σωφρονέστερος δὲ πῶς; καὶ ἐὰν ἀγαθὸς ἀνὴρ ᾖ, μὴ ἐμποδίζωσι αἱ εὐπορίαι, ὅσῳ ἧττον βοηθῆται, εἰ μὴ συνεπιλαμβάνωνται, καὶ ἔστω πᾶσα ἡ κρίσις, οὐχ ὡς πλούσιος, ἀλλ᾽ οἷος ἕκαστος ᾖ. ἔσχατον δὲ δίδαγμα ἐν εὐεργετήμασι καὶ βοηθείᾳ ἐστι. μὴ οὖν ἐπὶ τὴν ἐπιείκειαν, μηδέ τι ὑπὲρ τῆς ἀδικίας αὐτῆς. ὑπόθεσις γὰρ αἰωνίου συστάσεως καὶ τῆς φήμης ἐστὶ ἡ δικαιοσύνη, ἧς ἄνευ οὐδὲν εἶναι ἐπαινετὸν δύναται, ἀλλὰ οὖν περὶ τούτου τῶν εὐεργετημάτων τοῦ γένους, ἃ εἰς τοὺς τυχόντας ἀνήκει, λέλεκται. ἔπειτα περὶ τούτων ἃ εἰς τοὺς ὅλους, ἅτε εἰς τὴν πολιτείαν παρατείνει, διαλεκτέον ἐστι. τούτων δὲ αὐτῶν, τοῦτο μὲν τοιαῦτά ἐστι, ὥστε εἰς τοὺς ὅλους πολίτας παρατείνει, τοῦτο δὲ εἰς ἑκάστους ἀνήκει, ἃ καὶ χαριέστερά ἐστι. σπουδάζειν παντελῶς δεῖ, εἰ οἷόν τε, τοῖς ἀμφοτέροις, οὔτε ἧττον, ἵνα καὶ ἑκάστοις συμβουλεύηται, ἀλλ᾽ οὕτω,

ὡς οὕτω τὸ πρᾶγμα, ἤτοι λυσιτελήσει, ἢ δήπου
μὴ βλάψει τὴν πολιτείαν, γαΐου τοῦ ἡλίου καὶ
πουβλίου τοῦ γράκκου ἡ σιταγρεία μεγάλη
δόσις ἦν, ἤντλει οὖν τὸ γαζοφυλάκιον, μέ-
τριος μάρκου πλουσίοις ἀνθρώποις προει-
πεῖν. οὐδενὶ δὲ τὴν πολιτείαν κυβερνᾶντες
ῥᾷστον τὴν τοῦ πλήθους εὔνοιαν κτήσασθαι
δύνανται, ἢ τῇ ἐγκρατείᾳ. οἱ δὲ ἑαυτοὺς
δημίους ἐμφαίνουσι τούτου τοῦ πράγματος
ἕνεκα ποιοῦσι, ἤτοι τὸ ἄγρικον πρᾶγμα πει-
ράσουσι, ἵνα οἱ κτήτορες, ἀπὸ τῶν αὐτῶν οἱ-
κητηρίων ἀπελαύνωντο, ἢ χρῆμα τοῖς ὀφει-
λέταις ὅ, τι πεπίστευται συγχωριστέον οἴον-
ται. καὶ πρῶτον μὲν τὰ, τῆς πολιτείας,
θεμέλια, παρακρούουσι τὴν ὁμόνοιαν ἀναι-
ροῦντες, ἢ οὐδαμῶς εἶναι δύναται: περὶ μὲν
ἄλλων ἀφαιρεῖσθαι: περὶ δὲ τοῖς ἄλλοις συγ-
χωρεῖσθαι. ἰσότητα δ', ἡ ἅπασα αἴρεται, εἰ
ἑκάστῳ, τὸ ἴδιον ἔχειν οὐκ ἔνεστι. τοῦτο γὰρ
ὥσπερ πρότερον λέλεχα, ἴδιον τῆς πόλεως
καὶ ἄστεός ἐστι, ἵνα ἐλεύθερος ᾖ, καὶ οὐκ
ἐπιμελὴς ἡ φύλαξ, ὑπὲρ ἑκάστου τῶν κτημά-
των: καὶ μὴν ἐν τούτῳ περὶ τῆς πολιτείας
ὀλέθρῳ, οὐ ταύτης δήπου, ἣν νομίζουσι ἐπιθυ-
μοῦσι χάριτος. καὶ γὰρ ᾧτινι μὲν τὸ κτῆ-
μα ἀφήρηται ἐχθρός, ᾧτινι δὲ δέδοται, προ-

ποι-

ποιεῖται οὐ λαμβάνειν βεβούληται, καὶ μάλιστα ἐν τοῖς χρήμασι πεπιστευμένοις χαρὰν αὐτοῦ κρύπτει, μὴ δοκῇ μὴ δυνηθῆναι ἐκλυνίζειν. ἀλλά τοι ἐκεῖνος ὃς ἀδικεῖται, καὶ μνημονεύει, καὶ ἀποδείκνυται τὸ ἄλγος αὐτοῦ, οὐδὲ εἰ πλείους εἰσὶν ἐκεῖνοι, οἷς κακῶς δέδοται, ἢ ἐκεῖνοι ὧν ἀδίκως ἀφήρηται: πλείω γε οὖν ἰσχύουσιν, οὐ γὰρ ἀριθμῷ, ἀλλὰ τῷ βάρει ταῦτα κρίνεται. τίνα δὲ ἔχει ἰσότητα; ὥστε ἀγρὸν πολλοῖς ἔτεσι, ἢ μέχρι πόρρω κεκτημένον, ἐκεῖνος ὃς μὲν οὐδένα ἐσχήκει, ἕξει, ὃς δὲ ἔχειν ἀπολέσει; ἀλλὰ διὰ τοῦτο τῆς ἀδικίας γένος οἱ λακεδεμόνιοι λύσανδρον ἔφορον ἐξέβαλον, καὶ ἄγιν τὸν βασιλέα (ὅ,τι οὐδέποτε πρότερον παρὰ αὐτοῖς συμβέβηκε) ἔκτανον. ὅθεν μικρὸν ὕστερον τοσαῦται διαφωνίαι ἠκολούθησαν, ὥστε τυράννους γενέσθαι: καὶ τοὺς μεγιστᾶνας ἐβληθῆναι: καὶ παγκάλως λίαν διατεθεῖσαν τὴν πολιτείαν ἐκτακυλιαθῆναι. οὐδὲ μόνον αὕτη πέπτωκε, ἀλλὰ καὶ λοιπὴν τὴν ἑλλάδα τοῖς τῶν κακῶν λοιμοῖς διέστραφε, οἳ παρὰ τῶν λακεδεμονίων ὁρμηθέντες εὐρυχωρίτερον παραγεγόνασι. τί ἡμετέρους γράκχους τοῦ φορτάτου ἀνδρὸς ἥους τοῦ ἀφρικανοῦ ἀφαίμους, οὐχὶ ἄγροικαὶ μάχαι ἀπώλεσαν;

ἀλλά τοι ἄρατος ὁ σικυώνιος, εἰκότως ἐπαινεῖται, ὃς ὅταν ἡ πόλις αὐτοῦ πεντήκοντα ἔτη, ὑπὸ τῶν τυράννων κατελαμβάνετο, ἀπὸ τῶν ἄργων εἰς τὴν σικυῶνα πεπόρευται, κρύφα διὰ τῆς ἐμβάσεως τὴν πόλιν εἷλεν, καὶ ἐπειδὴ νικοκλῆ τὸν τύραννον ὄντα, ἐκ τοῦ ἀφανοῦς βεβίακε, ἑξακοσίους ἐξορίστους, οἳ τῆς πόλεως αὐτοῦ ἀφνειέστατοι ἦσαν, ἀνέδωκε, καὶ τὴν πολιτείαν παρουσίᾳ αὐτοῦ, ἀνήρθωσεν, ἀλλ᾽ ἐπειδὴ ὑπείληφε μεγάλην, ἐν τοῖς ὑπάρχουσι καὶ κτήμασι δυσχέρειαν εἶναι, ὅτι καὶ ἐκείνους, οὓς, καὶ αὐτὸς ἀνέδωκε, ὧν οὐσίας ἄλλοι ἐκτήσαντο ὑστερεῖσθαι, ἀδικώτατον εἶναι ἐνομίσατο, καὶ τὰ πεντήκοντα ἐτῶν κτήματα ἀπαιρεῖσθαι, οὐδὲν ἧττον ἐπιεικὲς ἡγήσατο, ἀνθ᾽ ὧν οὕτω μακρὰν, τὰ πολλὰ κληρονομίαις, πολλὰ ὠνήσεσι, πολλὰ γαμηλίαις ὑπεσχέθοντο, εἰκότως ἔκρινε, μηδὲ ἐκείνων ἀφαιρεῖσθαι, μηδὲ τούτοις μὴ διατίθεσθαι, ὧν ταῦτα ἦν, δεῖν. ἐπειδὴ οὖν ἐλογίσθη πρὸς τὸ τοῦτο τὸ πρᾶγμα διαθεῖναι πολλοῦ γε δεῖν τοῦ χρήματος, εἰς τὴν ἀλεξάνδρειαν πορεύεσθαι μέλλειν εἶπε, καὶ τὸ πρᾶγμα ὁλοτελὲς εἶναι ἐκέλευσε, εἰς τὴν ἀνακομιδὴν αὐτοῦ, καὶ οὗτος ὠκέως εἰς

πλο-

πτολωμαῖον τὸν ξένον αὐτοῦ ἦλθεν ὃς τότε
δεύτερος ἐκυβέρνα μετὰ ἀλεξανδρίαν
τὴν κατασκευασμένην, ὃς ἐπειδὴ τὴν πα-
τρίδα σώζειν θέλειν ἐδήλωσε, παρὰ βασι-
λέως εἴληφε, ὥστε πολλοῖς χρήμασι βοη-
θεῖσθαι, ἃ εἰς συκυῶνα προσφέρων, εἰς τὴν
βουλὴν δεκαπέντε ἄρχοντας παρακέκληκε,
μεθ' ὧν τὰ πράγματα ἐπιμελῶς ἐξέτασε.
καὶ τῶν τὰ ἀλλότρια ἐχόντων, καὶ τῶν τὰ
ἴδια ἀπολωλύτων, καὶ διέπραξεν περὶ τὰ
κτήματα ἐξετάζειν, ὥστε πείθεσθαι ἄλλοις μὲν
τὰ χρήματα λαμβάνειν μᾶλλον αἱρεῖσθαι καὶ
κτημάτων εἴκειν. ἄλλοις δὲ ἄμφνον νομίζεσθαι,
εἰ τοσοῦτο ὅσον κτῆμα αὐτῶν ἦν, ἀριθμηθήσε-
ται, ἢ αὐτῶν κτῆμα ἀνακτᾶσθαι, καὶ διετελέσθη,
ὥστε ἅπαντες διατεθειμένοι τῆς ὁμονοίας,
ἄνευ δεινοπαθείας ἀπάγειν. ὦ ἀνδρὸς ἐπι-
φανοῦς καὶ ἀξίου, ὃς ἐν ἡμετέρᾳ πολιτείᾳ
γεγόνοι ἄν. οὕτω περὶ τοὺς πολίτας δια-
θῶσαι καλῶς ἔχει, καὶ οὐχ ὥσπερ δὶς
ἤδη ἑωράκαμεν ἐν ἀγορᾷ τὸ ἔγχος τι-
θέναι, καὶ τὰς τῶν πολιτῶν οὐσίας, τῇ
τοῦ κήρυκος φωνῇ ὑπάγειν. ἀλλὰ αὐτὸς
ὁ ἕλλην, τοῦτο ὅ,τι τοῦ σοφοῦ καὶ ἐπιφανοῦς
ἀνδρὸς ἦν πᾶσι συμβουλευτέον ὑπείληφε.
οὗτος ὁ ἄριστος τρόπος, καὶ ἡ τοῦ βελτίστου

πολίτου σοφία, τὰς τῶν πολιτῶν ὠφελείας
σώζειν καὶ οὐ διασπάζειν, καὶ μὲν ἅπαν-
τας ταύτῃ τῇ δίκῃ συνέχειν. ἀλλ' οἰκοῦσιν
ἐν ἀλλοτρίῳ δωρεάν. τί δὲ οὖν; ὅτι ἐπειδὴ ἂν
ὠνησάμην, ᾠκοδόμησα, διεφυλάττω, ἀνα-
λίσκω, σὺ μὲν ἄκοντός μου τῶν ἐμῶν ἀπο-
λαύῃς, τί δ' ἀλλ' ἐστὶν, εἰ μὴ τοῖς ἄλλοις, τὰ
ἴδια ἀφαιρεῖσθαι, καὶ τοῖς ἄλλοις ἀλλότρια
διδόναι; νόμοι δὲ νεαροὶ τί ἔχουσι δείγμα-
τος, εἰ μὴ ἵνα ὠνῇ διὰ χρήματ' ἐμοῦ ἀγρόν,
σὺ μὲν ἐκεῖνον ἔχῃς, ἐγὼ δὲ τὰ χρήματα
οὐχὶ ἕξω; Διόπερ μὴ ἀπόφλημα ᾖ, ὅ,τι τὴν
πολιτείαν βλάπτῃ, ἐγχειρίζεσθαι ἐπιμέλειαν
δεῖ: ὅ,τι πολλαπλασίως εὐλαβεῖσθαι δύνα-
ται: εἰ δὲ τοῦτο οὐκ ἔσται, ἵνα οἱ πλούσιοι αὐ-
τῶν οὐσίας ἀπολῶσι: καὶ ὀφείλεται δανεί-
ζονται, ἐπὶ τοῦ ἀλλοτρίου. οὔτε γὰρ ἄλλο τι
πρᾶγμα, μᾶλλον τὴν πολιτείαν διασώ-
ζει, ἢ πίστις, ἣ οὐδεμία εἶναι δύναται, εἰ μὴ
ἀναγκαία τῶν πιστευόντων ἀπόδοσις ἔσται.
οὐδέποτε γὰρ δεινότερον ἠγώνισται, ἢ ἐμοῦ
ὑπατεύοντος, μὴ ἀποδίδοσθαι. ὅπλοις καὶ
περιβολαῖς, τὸ πρᾶγμα, παρὰ παντὸς, τοῦ
τῶν ἀνθρώπων γένους, καὶ στάσεως ἁπάσης
ἐπειράσθη. οἷς οὕτω ἀντέστησα, ὥστε ὅλον τὸ
παραφαῦλον ἀπὸ πολιτείας τῆς ἡμετέρας

παν-

ἑαυτὰ πᾶσιν ἀναιρεῖσθαι. οὐδ᾽ ἔστι οὖν χρέος,
οὔτε μεῖζον ἦν, οὔτε ἄμεινον, οὔτε ῥαόςορον
ἀπεδόθη. τῆς γὰρ τοῦ πλεονεκτεῖν ἐλπίδος
ἀφῃρημένης, ἡ τοῦ ἀποδοῦναι ἀνάγκη ἠκολού-
θησεν. καί τοι καὶ οὗτος ἡμέτερος ὁ νι-
κατὴς, νῦν δὲ νικηθεὶς, ἃ ἐνεθυμήσατο,
ἅπαντα πεποίηκεν, εἰ καὶ ἤδη αὐτοῦ οὐδὲν
ἐπιτυγχάνει. τοσαύτη ἐν αὐτῷ τοῦ ἁμαρ-
τάνειν ἡ ἐπιθυμία ἦν, ὥστε τοῦτο τὸ αὐτὸ ἁμαρ-
τάνειν ἐκεῖνον τέρπειν, εἰ καὶ οὐδεμία αἰτία
εἴη ἄν. τούτου οὖν δόσεως, τοῦ χρέους, ὥστε
ἄλλοις μὲν διδόναι, καὶ ἄλλων δὲ ἀφαι-
ρεῖσθαι, ἀφέξονται οἱ τὴν πολιτείαν κυβερ-
νῶντες. καὶ πρώτιστα σπουδάζουσι, ἵνα τῇ τῆς
δίκης καὶ κρίσεων ἐπιεικείᾳ, ἴδιον ἕκαστος
ἔχῃ. μηδ᾽ ἐνδεῶς πράττοντες ἀδικῶνται:
μηδὲ πλουσίους πρὸς τὸ τὰ ἴδια ἔχειν ἢ ἀνα-
κτᾶσθαι βλάπτῃ ὁ φθόνος. πρὸς τούτοις ἤτοι
ἐν πολέμῳ, ἢ οἴκοι διωκήσονται, ἀρχῇ, ἀγροῖς,
φόροις τὴν πολιτείαν αὐξέτωσαν. ταῦτα
μεγάλων ἀνθρώπων ἐστὶ, ταῦτα παρὰ τῶν
προγόνων ἡμετέρων ἐπρικήθη. ταῦτα τῶν κα-
θηκόντων νῦν οἱ διώκουσι, μετὰ μεγίστης
τῆς πολιτείας ὠφελείας, μεγάλης αὐτοὶ ἐπι-
τεύξονται ἂν καὶ χάριτος καὶ δόξης. ἐν
τούτοις δὲ τῶν λυσιτελεῶν διδάγμασιν

ἀντίπατρος τύριος ὁ στωϊκὸς, ὃς ἄρτι ἀθήνησιν
ἀπέθανεν, δύο οἴεται παρὰ τοῦ παναιτίου
παραλειφθῆναι τὴν τῆς εὐρωστίας ἐπιστασίαν,
καὶ τῶν χρημάτων. ἃ παρὰ τοῦ βελτίστου
φιλοσόφου παραλειφθῆναι λογίζομαι ὅτι
ῥάδια ἦν, συμφέροντα ὅμως ἐστίν. ἀλλ' ἡ
ὑγιεία φυλάττεται τῇ τοῦ σώματος αὐτοῦ
γνώσει καὶ τούτων τῶν πραγμάτων διανο-
ήσει, ἃ ἤτοι λυσιτελεῖν ἢ βλάπτειν εἴωθε,
καὶ ἐγκρατείᾳ, ἐν τροφῇ πάσῃ καὶ κόσμῳ,
τοῦ τὸ σῶμα ἕνεκα σώζειν. καὶ ἐν τῷ τὰς
ἡδονὰς παραλείπειν. ἐπὶ τούτοις, τῇ τῶν τού-
των τέχνῃ, ὧν εἰς ἐπιστήμην ταῦτα παρατεί-
νει. οἰκονομία μὲν ζητεῖσθαι ὠφείλει, τούτοις
τοῖς πράγμασι, ἀφ' ὧν ἡ αἰσχύνη ἄπεστι.
φυλάττεσθαι τῇ ἐπιμελείᾳ καὶ φειδωλείᾳ,
τούτοις καὶ πράγμασι αὔξεσθαι. ἐπιτη-
δέστατα λίαν, ταῦτα τὰ πράγματα, ξενο-
φῶν σωκρατικὸς διεσαφήσατο ἐν ταύτῃ τῇ
βίβλῳ, ἣ οἰκονομικὴ, ἐπιγράφεται, ἣν
ἐπειδὴ εἰς τὴν τῆς ἡλικίας σου ἦλθον, ῥωμαϊ-
στὶ ἡρμήνευσα. ἀλλ' ἡ τῶν ὠφελειῶν σύγ-
κρισις (ὅτι οὗτος ὁ τόπος τέταρτος
ἔσται, ἀπὸ τοῦ παναιτίου παραλειφθεὶς) πολλά-
κις ἀναγκαία ἐστί. καὶ γὰρ αἱ τοῦ σώμα-
τος, μετὰ τῶν ἐξωτερικῶν ὠφέλειαι, καὶ
ἐξω-

ἐξωτερικαὶ μετὰ σώματος, καὶ αὐταὶ πρὸς
ἀλλήλας, σώματος καὶ ἐξωτερικαὶ, μετὰ ἐξω-
τερικῶν συγκρίνεσθαι εἰώθασι. μετ' ἐξωτερι-
κῶν τοῦτον δὴ τρόπον, αἱ τοῦ σώματος συγ-
κρίνονται, ἐυρωστεῖν ὡς αἱρεῖ μᾶλλον ἢ πλού-
σιος εἶναι, καὶ μετὰ τοῦ σώματος ἐξωτε-
ρικαὶ τοῦτον δὴ τρόπον, πλούσιος εἶναι μᾶλ-
λον ἢ μεγίσταις τοῦ σώματος ῥώμαις χρῆσθαι. αἱ
αὐταὶ τοῦ σώματος, πρὸς ἀλλήλας συγκρί-
νονται οὕτως, ἡ ἐυρωστία τῆς ἡδονῆς ἂν προκρί-
νοιτο, καὶ ἰσχὺς τῆς ταχύτητος ἐξωτερικῶν
δὲ ὡς κλέος τῶν ουσιῶν, φόροι οἱ ἄστυκοι τῶν
ἀγρικῶν, ἐξ οὗ τῆς συγκρίσεως γένους, ἐκεῖ-
νό ἐστι τοῦ κάτωνος τοῦ γεραιοῦ, ὃς ζητηθεὶς,
τί μάλιστα ἐν τῇ οἰκονομίᾳ λυσιτελοῖ ἂν;
ἀπεκρίθη εὖ ποιμαίνειν. τί δεύτερον;
ἱκανὸν εὖ ποιμαίνειν. τί τρίτον; εὖ ἀμ-
φιέσαι. τί τέταρτον; ἀροτριάζειν. καὶ
ἐπεὶ αὐτὸς ὃς ἐζήτησεν εἶπε, τί τοκοφο-
ρεῖν; τότε ὁ κάτων, τί ἄνθρωπον φη-
σί κτείνειν; ὑφ' οὗ καὶ πολλῶν ἄλλων
κατανοεῖσθαι ὀφείλει, τῶν ὠφελειῶν συγ-
κρίσεις γίνεσθαι εἰωθέναι. καὶ ὀρθῶς τοῦ-
το τέταρτον τὸ γένος τοῦ τὰ καθήκοντ'
ἐκζητεῖν. ἀλλὰ τοὐπίπαν περὶ τοῦ ζη-
τεῖν, καὶ περὶ τοῦ ἐκδιδόναι τὰ χρήματα.

καὶ

καὶ πρὸς τούτοις περί τοι χρήσεως ἐπιτηδέστε-
ρον, ὑπό τινων βελτίστων ἀνδρῶν ἐν ἡμικυ-
κλίοις καθημένων, ἢ ὑπὸ τῶν φιλοσόφων
ἔν τινι διατριβῇ διαλέγεται. ἀλλ᾽ ὅμως
ταῦτα γινώσκειν δεῖ, παρατείνει γὰρ εἰς τὴν
ὠφέλειαν, περὶ ἧς ταύτῃ τῇ βίβλῳ
διαλέλεκται. τὰ λοιπὰ
ὕστερον διώξομεν.

...αι ἐπιτηδέξεις
...δρῶν τῶν ἀμικυς
...τῶν φιλοσόφων
...αι. ἀλλ' ὅμως
...είναι γαρ εἰς τὴν
...τῇ τῆ βίβλῳ
...λοιπὰ
...μην.

